Καὶ οὗτος δὲ περὶ τὴν Σκυθίαν εὑρίσκεται. ἔστι δὲ ἐκ τούτων τῶν λίθων ἀχάτης χρῶμα ἔχων λέοντος: τριβόμενος δὲ μεθ' ὕδατος, καὶ χριόμενος ἐπὶ δήγματος θηρίου, ἀποτρέπει ἰὸν σκορπίου, καὶ ἐχιδνῶν, καὶ τῶν τοιούτων.

Θ.

Λίθος ἀμέθυστος, οὗτος κατὰ τὴν αὐτοῦ περιφέρειαν φλογίζων ἐστὶ βαθέως. ἡ δὲ αὐτὴ ἐστὶ λευκοτέρα ἐκ τοῦ μέσου, οἰνωπὸν ἀποπέμπουσα εἶδος. ἡ δὲ μορφὴ αὐτοῦ διάφορος. τάχα δὲ καὶ αὐτὸς ἐν τοῖς ὄρεσι γίνεται τῆς Λιβύης. ὁ μὲν γὰρ αὐτῶν ἐστὶν ὑακίνθῳ καθαρῷ παραπλήσιος: ὁ δὲ, † ἀμφικόχλῳ. γίνεται ἐν ταῖς ὄχθαις τῆς θαλάσσης τῆς αὐτῆς Λιβύης.

† θαλάσσης, vel θαλασσίῳ κόχλῳ: uel potius αἵματι κόχλου, vt suprà in sexto lapide.

I.

Λίθος χρυσόλιθος. τοῦτόν τινες χρυσόφυλλον κεκλήκασι. χρυσίζων μὲν ἐστίν: εὑρίσκεται δὲ ἐν τῷ φρέατι διπέτρῳ, παρὰ τὸ τεῖχος τῆς Ἀχαιμενίτιδος Βαβυλῶνος. τὴν γὰρ Βαβυλῶνα καὶ τὸ φρέαρ ἐκεῖνο Ἀχαιμενίτιδα καλοῦσιν, ὅτι φασὶν ὁ πατὴρ Κύρου τοῦ βασιλέως, † Ἀχιμαγενὺς ἐκαλεῖτο. ἔστι δὲ καὶ χρυσόπα-

† Ἀχαιμένης.

στος.